Universitätsbibliothek Paderborn

Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

V. De pace ecclesiarum post persecutionem.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

GALLUS.

σαντος, Λούκιος καὶ ἔστιν διάδοχος· μησὶ δ' οὐδ' ὅλοις ἔτεσιν ὀκτὼ τῇ λειτουργίᾳ διακονησάμενος, Στεφάνῳ τελευτῶν μεταδίδωσι τὸν κλῆρον. τούτῳ δὴ Στεφάνῳ τὴν πρώτην ὁ Διονύσιος τῶν περὶ βαπτίσματος ἐπιστολῶν διατυποῦται, ζητήματος οὐ σμικροῦ τηνικάδε ἀνακινηθέντος, εἰ δέοι τοὺς ἐξ οἱασδ' οὖν αἱρέσεως ἐπιστρέφοντας, διὰ λουτροῦ καθαίρειν· παλαιοῦ γέ τοι κεκρατηκότος ἔθους ἐπὶ τῶν τοιούτων, μόνῃ χρῆσθαι τῇ διὰ χειρῶν ἐπιθέσεως εὐχῇ.

A vix octo menſium ſpatio perfunctus eo munere, moriens epiſcopale officium Stephano dereliquit. Ad hunc Stephanum Dionyſius primam earum quæ de Baptiſmo conſcriptę ſunt epiſtolam exaravit, cùm per id tempus non mediocris controverſia exorta eſſet, utrùm eos qui ex qualibet hæreſi convertuntur, baptiſmo purgari oporteret. Quippe antiqua conſuetudo invaluerat, ut in ejuſmodi hominibus ſola manuum impoſitio cum precationibus adhiberetur.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ὅπως Κυπριανὸς ἅμα τοῖς κατ' αὐτὸν Ἐπισκόποις τοὺς ἐξ αἱρετικῆς πλάνης ἐπιστρέφοντας λουτρῷ δεῖν καθαίρειν πρῶτος ἐδογμάτισεν.

Πρῶτος τῶν τότε Κυπριανὸς τῆς κατὰ Καρχηδόνα παροικίας ποιμήν, οὐδ' ἄλλως ἢ διὰ λουτροῦ πρότερον τῆς πλάνης ἀποκαθηραμένους, προσίεσθαι δεῖν ἡγεῖτο. ἀλλ' ὅγε Στέφανος μὴ δεῖν τι νεώτερον παρὰ τὴν κρατήσασαν ἀρχῆθεν παράδοσιν ἐπικαινοτομεῖν οἰόμενος, ἐπὶ τούτῳ διηγανάκτει.

Caput III.

B *Quomodo Cyprianus cum aliquot ſibi adjunctis Epiſcopis eos qui ab hæretico errore converterentur rebaptiſandos primus cenſuit.*

Primus omnium Cyprianus qui tunc temporis Carthaginenſem regebat eccleſiam, non niſi per baptiſmum ab errore priùs emundatos, admittendos eſſe cenſuit. Verùm Stephanus nihil adverſus traditionem quæ jam inde ab ultimis temporibus obtinuerat, innovandum ratus, graviſſime id tulit. Vide Niceph. l. 6. c. 7.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ὁπόσας περὶ τούτου Διονύσιος συνέταξεν ἐπιστολάς.

Πλεῖστα δὴ οὖν αὐτῷ περὶ τούτου διὰ γραμμάτων ὁ Διονύσιος ὁμιλήσας, τελευτῶν δηλοῖ ὡς ἄρα τοῦ διωγμοῦ λελωφηκότος, αἱ πανταχόσε ἐκκλησίαι τὴν κατὰ Νοουάτον ἀποστραφεῖσαι νεωτεροποιΐαν, εἰρήνην πρὸς ἑαυτὰς ἀνειλήφεσαν. γράφει δὲ ὧδε.

Caput IV.

C *Quot epiſtolas Dionyſius ea de re conſcripſit.*

Ad hunc igitur, ut dixi, multa de hoc argumento Dionyſius per literas ſcripſit. In quibus id tandem illi indicat, omnes ubique eccleſias mollito jam perſecutionis furore, Novati turbulentam novitatem deteſtantes, inter ſe pacem iniiſſe. Sic autem ſcribit. Huc refer Niceph. l. 6. c. 7.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῆς μετὰ τὸν διωγμὸν εἰρήνης.

Ἴσθι δὲ νῦν ἀδελφὲ, ὅτι ἥνωνται πᾶσαι αἱ πρότερον διεσχισμέναι κατά τε τὴν ἀνατολὴν ἐκκλησίαι, καὶ ἔτι προσωτέρω. καὶ πάντες εἰσὶν ὁμόφρονες οἱ πανταχοῦ προεστῶτες, χαίροντες καθ' ὑπερβολὴν ἐπὶ τῇ παρὰ προσδοκίαν εἰρήνῃ γενομένῃ. Δημητριανὸς ἐν Ἀντιοχείᾳ· Θεόκτιστος ἐν Καισαρείᾳ· Μαζαβάνης ἐν Αἰλίᾳ· Μαρῖνος ἐν Τύρῳ κοιμηθέντος Ἀλεξάνδρου· Ἡλιόδωρος ἐν Λαοδικείᾳ ἀναπαυσαμένου Θηλυμίδρου. Ἕλενος ἐν Ταρσῷ, καὶ πᾶσαι αἱ τῆς Κιλικίας ἐκκλησίαι. Φιρμιλιανὸς, καὶ πᾶσα Καππαδοκία. τοὺς γὰρ ἐπιφανεστέρους μόνους τῶν Ἐπισκόπων ὠνόμασα, ἵνα μήτε

Caput V.

De pace Eccleſiarum poſt perſecutionem.

Scias autem frater cunctas per Orientem & ulteriùs poſitas eccleſias quæ prius ante diſciſſæ, D nunc tandem ad unitatem reverſas eſſe: & omnes eccleſiarum ubicumq; Antiſtites unum idemque ſentire, & ob redditam inſperatò pacem incredibili gaudio exultare: Demetrianum ſcilicet epiſcopum Antiochiæ, Theoctiſtum Cæſareæ, Æliæ poſt mortem Alexandri Mazabanem, Marinum Tyri, Laodiceæ verò poſt Thelymidris obitum Helíodorum: Helenum Tarſi cunctaſque Ciliciæ eccleſias: Firmilianum denique cum univerſa Cappadocia. Solos enim illuſtriores epiſcopos nominavi, ne forte epiſtola noſtra proli-

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

xior, & oratio moleſtior redderetur. Syriarum quidem provinciæ omnes cum Arabia, quibus identidem neceſſaria ſuppeditatis, & quibus literas nunc ſcripſiſtis: Meſopotamia quoque, Pontus ac Bithynia; ac ut uno verbo abſolvam, omnes ubique terrarum lętitiâ geſtiunt, Deoque gratias agunt ob hanc concordiam fraternamque caritatem. Et hæc quidem Dionyſius ſcribit: Ceterùm cùm Stephanus eccleſiam biennio adminiſtraſſet, Xyſtus in ejus locum ſucceſſit. Ad hunc Dionyſius ſecundam de Baptiſmo ſcripſit epiſtolam: in qua Stephani ſimul ac reliquorum epiſcoporum ſententiam ac judicium exponit, de Stephano ita ſcribens: Antea quidem literas ſcripſerat de Heleno & de Firmiliano, de omnibus denique Sacerdotibus per Ciliciam, Cappadociam cunctaſque finitimas provincias conſtitutis: ſeſe ob eam cauſam ab illorum communione diſceſſurum, quod hæreticos rebaptiſarent. Ac vide, quæſo, gravitatem negotii. Revera enim in maximis, ut audio, epiſcoporum conciliis decretum eſt, ut qui ab hæreticis ad Catholicam Eccleſiam accedunt, primùm catechumeni fierent: ac deinde veteris & impuri fermenti ſordibus per Baptiſmum purgarentur. De his omnibus ego ad illum epiſtolam miſi, rogans atque obteſtans. Et aliquantò poſt: Sed & cariſſimis, inquit, fratribus & compreſbyteris noſtris Dionyſio ac Philemoni, qui prius idem cum Stephano ſenſerant deque iiſdem rebus ad me ſcripſerant: antea quidem breviter, nunc verò pluribus verbis ſcripſi. Verum de ſupradicta quæſtione hactenus.

Caput VI.

De hæreſi Sabellii.

Huc refer Niceph. l. 6. c. 7.

In eadem epiſtola de Sabellianis hæreticis, utpote qui tunc temporis increbreſcebant, Xyſtum certiorem facit his verbis: Nam de dogmate illo quod nuper apud Ptolemaïdem urbem Pentapoleos commotum eſt, pleno impietatis ac blaſphemiæ adverſus omnipotentem Deum Patrem Domini noſtri Jeſu Chriſti: pleno etiam incredulitatis erga unigenitum ejus Filium, primogenitum omnis creaturæ, Verbum quod inter homines verſatum eſt: pleno denique ſtuporis adverſus Spiritum ſanctum: cum ab utraque parte & literæ ad me allatæ eſſent, &

A μήκους τῇ ἐπιστολῇ, μήτε βάρος προστιθεὶς τῷ λόγῳ. αἱ μέντοι Συρίαι ὅλαι καὶ ἡ Ἀραβία, οἷς ἐπαρκεῖτε ἑκάστοτε, καὶ οἷς νῦν ἐπεστείλατε, ἥ τε Μεσοποταμία, Πόντος τε καὶ Βιθυνία. καὶ συνελόντι εἰπεῖν, ἀγαλλιῶνται πάντες πανταχοῦ τῇ ὁμονοίᾳ καὶ φιλαδελφίᾳ, δοξάζοντες τὸν Θεόν. ταῦτα μὲν ὁ Διονύσιος. Στέφανον δ' ἐπὶ δυσὶν ἀποπλήσαντα τὴν λειτουργίαν ἔτεσι, Ξύστος διαδέχεται. τούτῳ δευτέραν ὁ Διονύσιος περὶ βαπτίσματος χαράξας ἐπιστολὴν, ὁμοῦ τὴν Στεφάνου καὶ τῶν λοιπῶν Ἐπισκόπων γνώμην τε καὶ κρίσιν δηλοῖ, περὶ τοῦ Στεφάνου λέγων B ταῦτα· ἐπεστάλκει μὲν οὖν πρότερον καὶ περὶ Ἑλένου καὶ περὶ Φιρμιλιανοῦ, καὶ πάντων τῶν τε ἀπὸ τῆς Κιλικίας καὶ Καππαδοκίας καὶ Γαλατίας καὶ πάντων τῶν ἑξῆς ὁμορούντων ἐθνῶν, ὡς οὐδὲ ἐκείνοις κοινωνήσων διὰ τὴν αὐτὴν ταύτην αἰτίαν, ἐπειδὴ τοὺς αἱρετικοὺς (φησὶν) ἀναβαπτίζουσι· καὶ σκόπει τὸ μέγεθος τοῦ πράγματος. ὄντως γὰρ δόγματα περὶ τούτου γέγονεν ἐν ταῖς μεγίσταις τῶν Ἐπισκόπων συνόδοις, ὡς πυνθάνομαι. ὥστε τοὺς προσιόντας ἀπὸ αἱρέσεως, προκατηχηθέντας. εἶτα ἀπολούεσθαι καὶ ἀνακαθαίρεσθαι τὸν τῆς παλαιᾶς καὶ ἀκαθάρτου ζύμης ῥύ- C πον. καὶ περὶ τούτων αὐτοῦ πάντων δεόμενος, ἐπέστειλα. καὶ μεθ' ἕτερα φησί. καὶ τοῖς ἀγαπητοῖς δὲ ἡμῶν καὶ συμπρεσβυτέροις Διονυσίῳ καὶ Φιλήμονι, συμψήφοις πρότερον Στεφάνῳ γενομένοις, καὶ περὶ τῶν αὐτῶν μοι γράφουσι. πρότερον μὲν ὀλίγα, καὶ νῦν δὲ διὰ πλειόνων ἐπέστειλα. ἀλλὰ ταῦτα μὲν περὶ τοῦ δηλουμένου ζητήματος.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Περὶ τῆς κατὰ Σαβέλλιον αἱρέσεως.

D Σημαίνων δὲ ἐν ταὐτῷ καὶ περὶ τῶν κατὰ Σαβέλλιον αἱρετικῶν ὡς κατ' αὐτὸν ἐπιπολαζόντων, ταῦτα φησί. περὶ γὰρ τοῦ νῦν κινηθέντος ἐν τῇ Πτολεμαΐδι τῆς Πενταπόλεως δόγματος, ὄντος ἀσεβοῦς καὶ βλασφημίαν πολλὴν ἔχοντος περὶ τοῦ παντοκράτορος Θεοῦ καὶ Πατρὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ἀπιστίαν τε πολλὴν ἔχοντος περὶ τοῦ μονογενοῦς παιδὸς αὐτοῦ καὶ πρωτοτόκου πάσης κτίσεως, τοῦ ἐνανθρωπήσαντος λόγου. ἀναισθησίαν δὲ τοῦ ἁγίου πνεύματος. ἐλθόντων ἑκατέρωθεν πρός ἐμὲ καὶ πρὸ γραμμάτων